A

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ ἕκτη.

### ΑΙΑΚΟΣ, ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ.

Τρίμετροι Ἰαμβικοί.

B

BISETVS. Αἰακὸς νῦν εἰσάγεται προσερχόμενος μετὰ τοῦ Διτύλου καὶ Σκεβλύκ, καὶ Παρδόκα, καὶ τὸν Ξανθίαν ἀντὶ τοῦ Ἡρακλέους τοῦ κυνοκλόπου, συλλαμβάνεσθαι, καὶ συνδεῖσθαι κελεύει.

Αἰα. Ξυνδεῖτε ταχέως τουτονὶ, τὸν κυνοκλόπον,
Ἵνα δῷ δίκην. ἀνύετον. Δι. ἥκει τῳ κακόν.
C Ξανθ. Οὐκ ἐς κόρακας. μὴ πρόσιτον. Αἰ. εἶεν, καὶ μάχει;
Ὁ Διτύλας, χὠ Σκεβλίας, χὠ Παρδόκας
Χωρεῖτε δευρὶ καὶ μάχεσθε τουτῳί.
Δι. Εἶτ' οὐχὶ δεινὰ ταῦτα; τύπτειν τουτονὶ,
Κλέπτοντα πρὸς τἀλλότρια; Ξανθ. μάλ' ὑπερφυᾶ.
Αἰ. Σχέτλια μὲν οὖν καὶ δεινά. Ξανθ. καὶ μὴν, νὴ Δία,
D Εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
Ἤ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.
Καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ.
Βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβὼν,
Κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων.
Αἰ. Καὶ πῶς βασανίζω; Ξανθ. πάντα τρόπον, ἐν κλίμακι
E Δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δέρων,
Στρεβλῶν, ἔτι τε τὰς ῥῖνας ὄξος ἐγχέων,
Πλίνθους ἐπιτιθεὶς, πάντα τἄλλα, πλὴν πράσῳ X.
Μὴ τύπτε τοῦτον, μηδὲ γητείῳ νέῳ.

## ACTVS II. SCENA sexta.

### ÆACVS, BACCHVS, XANTHIAS.

*Senarij Iambici.*

ÆA. *Constringite ocyus furem istum Cerberi,*
*Vt pœnas det nobis.* BA. *malum huic nunc imminet.*
C XA. *Ite in malam rem: ne accedite.* ÆA. *quid? furcifer,*
*An etiam restitas? heus vos lorarij,*
*Tu Detyla, tu Sceblia, tu Pardoca:*
*Adeste huc, & cum isthoc homine confligite.*
BA. *Non hoc indignum est, qui furto aliena abripit,*
*Vt reuerberet?* XA. *indignum est here, supra modum.*
D ÆA. *Imò flagitiosum est, & turpe.* XA. *at, per Iouem,*
*Si ego pedem prius vnquam huc tuli, mori volo:*
*Aut si quid abstuli, quod dignum sit pilo.*
*Cuius rei argumentum tibi clarum dabo.*
*Hic seruus est, isthunc abduce, quære rem:*
*Quod si me iniustum reperias, occidito.*
ÆA. *At quomodo rem quæram ex ipso?* XA. *omni modo.*
E *Scalæ alliga, suspende, loris perdoma,*
*Cæde, rape, torque, naribus acetum ingere,*
*Lateres admoue, & omnia tenta: solummodo*
*Ne porro, neu recenti gethyo feri*

Σχόλια. Ξυνδεῖτε ταχέως.] κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξζ. ὧν τελευταῖος πρότερον ποιῆσαι πρίν με τὰς πληγὰς λαβεῖν. ὁ ξζ. μέν τοι ἰαμβικὸς ἑφθημιμερής. εἶτα κῶλον ἀντισπαστικὸν ἐξ ἐπιτρίτου πρώτου ἡμιόλιον. μεθ' ὃ μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου. καὶ ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον. ἐπὶ δὲ τῷ τέλει πάντων κορωνίς. κυνοκλόπον δὲ, τὸν κλέψαντα τὸν Κέρβερον κύνα. Ἥκει τῳ κακόν.] ὁ Διόνυσος τοῦτο λέγει ὅπερ περὶ αὐτοῦ καὶ ὁ Ξανθίας ἀνωτέρω. ἀμέλει δώσει δίκην. ἡσυχῇ δὲ ταῦτα λέγει. Μὴ πρόσιτον.] οὐκ εὖ οὐδὲ κυρίως τὸ πρόσιτον προκαλεῖται. δύναται δὲ ἄλλοις μὲν λέγειν τὸ πρόσιτον ἑπομένοις αὐτῷ. ἄλλους δὲ ἔτι καλεῖν. ὧν καὶ τὰ ὀνόματα εἴρηκεν ὡς δούλων, ἢ τοξοτῶν βαρβάρων. τινὲς δέ φασιν, ἐκ τοῦ, εἶεν καὶ τοῦ μάχῃ, τὸν παρὰ τοῦ Πλούτωνος ἐξελθόντα λέγειν, ἕως τοῦ κλέπτοντα τἀλλότρια. τὸ δὲ μᾶλλον ὑπερφυᾶ, τὸν Διόνυσον λέγειν εἶτα πάλιν τὸν παρὰ τοῦ Πλούτωνος, σχέτλια μὲν οὖν καὶ δεινά. ἔνιοι δέ φασι, πάντα αὐτὸν λέγειν τὸν Πλούτωνα, ἀγανακτοῦντα ἐπὶ τῷ τύπτεσθαι τοὺς ἀκολούθους ὑπὸ Ξανθίου. ἀπὸ τοῦ εἶεν καὶ μάχῃ, ἕως τοῦ σχέτλια μὲν οὖν καὶ δεινά. Εἶτ' οὐχὶ δεινά.] εἶτ' οὐχὶ δεινὰ κλέπτοντα τοῦτον τὰ ἀλλότρια πρὸς τούτῳ τύπτειν. Μάλ' ὑπερφυᾶ.] Τιμαχίδας, βραχέως ἀξιοῖ προφέρεσθαι ἀπιθάνως. συναλοιφῆς οὔσης, ἐκ τοῦ μή, καὶ ἀλλά. ὅτι γὰρ τῷ μὴ πολλαχῇ ἀντὶ τοῦ οὐ χρῶνται, πολλάκις εἴρηται. Βασάνιζε γὰρ τὸν παῖδα.] λέγεται βασανίζειν καὶ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, ἀπὸ τῆς βασάνου λίθου. Ἐν κλίμακι δήσας.] τὸ ἐν πρὸς τὸ δήσας, ἐνδήσας κλίμακι. ἀντὶ τοῦ εἰς κλίμακα δήσας. Ὅμηρος. κάππεσον ἐν Λήμνῳ. ἀντὶ τοῦ εἰς τὴν Λῆμνον. Πλὴν πράσῳ μὴ τύπτε τοῦτον ἐπεὶ οἱ ἐλεύθεροι πρὸ τούτου, ἔδερον τὸ πράσοις καὶ

F G

σκορόδοις. τὸ δὲ X, πρὸς τὸ ἔθος τοῦ τύπτειν. οἱ δὲ ὅτι διώρισαι πράσον ἀπὸ τοῦ γητείου. τινὲς γὰρ οἴονται εἶναι τὸ τοῦ πράσου φύλλον. δύναται μὲν οὖν ἐν ἤθει τὰ ὄντως χαλεπὰ προσθεὶς, ἐπιφέρειν. πλὴν μὴ τούτοις αὐτὸν τύπτε, ἅπερ ἐστὶν ἐλαφρότατα. δύναται δὲ καὶ ἄντικρυς βασάνιζε πανταχῶς αὐτὸν, μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τοὺς ἐλευθέρους παῖδας, τῷ ἐκκαυλήματι τοῦ πράσου τύπτουσιν, ἢ τῷ γητείῳ.